# De siccitate

## Περὶ αὐχμοῦ.

61.723

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; Ἐπιδαψιλευέτω μοι τὸ τοῦ λόγου προοίμιον ὁ τῶν προφητῶν συμπαθέστατος. Ἀλλ' ἐκεῖνος μιᾶς πόλεως τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν ὠδύρετο· ἐγὼ δὲ πάσης τῆς περιχώρου ταύτης ὁρῶν τὴν ἐπελθοῦσαν μάστιγα, εἰς θρήνους κινοῦμαι καὶ δάκρυα. Ἐκλείσθη γὰρ ὁ οὐρανὸς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τῷ ἡλιακῷ αἱ νεφέλαι, Ὡσεὶ φρύγιον συνεφρύγησαν· αἱ τῶν ὑδάτων ἀπεξηράνθησαν πίδακες, καὶ ποταμῶν ἀεννάων ἐξέλιπε ῥεύματα· ἡ δὲ γῆ πυρακτωθεῖσα τῷ καύσωνι τοὺς συνήθεις αὐτῆς δοῦναι καρποὺς ἀπαναίνεται. Φεῦ τῶν ἡμετέρων κακῶν.

Καὶ αὐτὰ γὰρ τὰ ἄλογα ζῶα κινδυνεύει διὰ τὰς ἁμαρτίας ἡμῶν. Ἀπεξηράνθη ἡ γῆ καὶ ὁ χόρτος αὐτῆς, μᾶλλον δὲ οὐκ ἐβλάστησε, καὶ τῷ λοιμῷ διαφθείρεται! Καὶ βοῦς μὲν ἐλεεινὸν μυκᾶται, καὶ οἷον ἐπιθανάτιον· τὰ δὲ ποίμνια βληχᾶται γοερῷ τῷ βληχήματι, ὡς φλογώδη κρατῆρα τὴν τῶν ὑδάτων πόσιν προκειμένην θεώμενα, καὶ πρὸ καιροῦ τὰ λήϊα ξηραινόμενα· ὡς καὶ τὴν Ἰωὴλ προφητείαν πεπληρῶσθαι νῦν ἐν ἡμῖν· Ἔκλαυσε βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτοῖς· καὶ ποίμνια τῶν προβάτων ἠφανίσθη, ὅτι ἐξηράνθησαν ἀφέσεις ναμάτων. Τοσοῦτον τὰ ἡμέτερα πταίσματα τὴν ἵλεων τοῦ Θεοῦ φύσιν καὶ ἥμερον εἰς δίκαιον θυμὸν παρεκίνησαν. Καὶ ἐπειδὴ καθ' ἑκάστην οὐ παυόμεθα τὸ πῦρ τῶν ἁμαρτιῶν ὑφάπτοντες, εἰκότως αὐχμῷ καὶ καύσωνι τιμωρούμεθα. Τάχα που καὶ πρὸς ἡμᾶς ὁ προφήτης βοᾷ· Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. Τοῖς μὲν οὖν Ἰσραηλίταις διὰ τοῦ προφήτου ἐπήγγελτο ὁ Θεὸς, εἰ φυλάττοιεν τὰς αὐτοῦ ἐντολὰς, Ἐπιβρέξω εἰς ὑμᾶς ὑετὸν πρώϊμον καὶ ὄψιμον· καὶ πληθυνθήσονται ὑμῶν αἱ ἅλωνες σίτου, καὶ αἱ ληνοὶ οἴνων· ἡμῖν δὲ ἡ ἐπαγγελία αὕτη εἰς τοὐναντίον μετέστραπται· μᾶλλον δὲ ἡμᾶς ἡ τοῦ Ἱερεμίου κατάρα κατείληφεν· Ἔστω σοὶ, φησὶν, ὁ ὑπὲρ τὴν κεφαλὴν οὐρανὸς χαλκοῦς· τὴν παντελῆ ξηρασίαν καὶ ἐπίλειψιν τῶν ὑδάτων τῇ ἀπειλῇ τοῦ λόγου σημαίνοντος. Ἢ οὐ τοῦτο ἡμῖν ἀρτίως πεπλήρωται; Ἡ μὲν γῆ χαραδρωθεῖσα αὐχμῷ καὶ οἷον ἀπολιθωθεῖσα, τῶν γεωργῶν τὸν πόνον ἠμάλδυνεν, οὔτε τὴν ἄροσιν παραδεχομένη, οὔτε τὴν σκάφησιν· τὰ δὲ λήϊα μικρὸν ἐκβλαστήσαντα, καὶ χρηστὰς ἐλπίδας παρασχόντα, πρὸ τοῦ ἐγκυμονῆσαι τὸν ἄσταχυν, ἀπεμαράνθη καὶ ᾤχετο. Μόνη δὲ λέλειπται τῶν ἀμπέλων καὶ φυτῶν ὑπετάλωσις, τάχα καὶ αὐτὴ τὸν μετ' ὀλίγον ἐσόμενον μαρασμὸν ὑπεμφαίνουσα. Τοιοῦτος τῶν ἁμαρτιῶν ὁ καρπὸς, τοιαῦτα τῆς κακίας τὰ ὄργια, ἀνθ' ὧν οὐκ ἐπορεύθημεν ἐν ταῖς ὁδοῖς αὐτοῦ, ἤτοι τοῦ Θεοῦ, ἀλλὰ ταῖς πονηραῖς ἐδουλώθημεν πράξεσιν, ἀλλήλων φθονοῦντες, τῶν ἐλαττόνων κατεπαιρόμενοι, ἐπιθυμοῦντες κορεσθῆναι τῶν ἀλλοτρίων, χαίροντες τῇ δυσπραγίᾳ τοῦ γείτονος, ἀλλήλους κατεσθίοντες τῇ συκοφαντίᾳ, ἀτόποις ἐπιθυμίαις δουλαγωγούμενοι, Ἵπποι θηλυμανεῖς γεγονότες, ὅ φησιν ἡ Γραφὴ, καὶ λύκοι ἅρπαγες, καὶ μνησικακοῦντες ὡς κάμηλοι, οὐκ ἐλεοῦντες τοὺς πένητας, οὐ συμπαθοῦντες τοὺς πταίοντας, ἀμελοῦντες τῶν ἐν τῇ Ἐκκλησίᾳ συνάξεων, καταφρονοῦντες τῶν ἁγίων, τὰς μνήμας αὐτῶν μὴ σεβόμενοι, φεύγοντες τὴν ἐξομολόγησιν, ὡς περὶ f. ὥσπερ οἱ ἐν φρενίτιδι ὄντες τοὺς θεράποντας.

Οἱ ἱερεῖς κακὸν ὑπόδειγμα γεγόνασι τῷ λαῷ, ὑβρίζοντες, μνησικακοῦντες, ἐχθραίνοντες, ἐπιβουλεύοντες, εἰς πρόσωπα βλέποντες, οὐκ ἐλέγχοντες καὶ διορθοῦντες τοὺς πταίοντας, ἀλλὰ τῇ σιωπῇ κοινωνοῦντες τῆς ἀδικίας, ὡς ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παλαιὸς ἐκεῖνος Ἠλεῖ· οἱ λαϊκοὶ, ἀφέντες τὰ ἑαυτῶν, ἕκαστος περισκοπεῖν τὰ τῶν ἱερέων περιεργάζονται, καὶ δικαστής ἐστιν ἀπαραίτητος. Ἆρα οὐκ ἀλήθειαν λέγω; οὐ τούτων ἔμπλεος τῶν κακῶν ἡ πόλις ἡμῶν; καὶ οὐ καθ' ἑκάστην ταῦτα μαρτύρομαι; οὐκ ἐκοπίασα κράζων, τῶν ὅρκων ἀπέχεσθαι; οὐ προέλεγον, οὐ παρόψεται Κύριος ὁρῶν οὕτω καταφρονούμενον τὸ ἱερὸν εὐαγγέλιον, καὶ ταῖς πλεονεκτικαῖς χερσὶν ἀναιδῶς καὶ ἀνυποστόλως κρατούμενον; Κόμιζε τοίνυν τοὺς καρποὺς 61.724 τοῦ ἀγροῦ, τοὺς ἐκ πλεονεξίας κτισθέντας σοι, ὡς οὐδὲ τὰ καταβληθέντα παρέξει σπέρματα· ἀλλ' οὐδὲ τὸν ἀμπελῶνα τρυγήσεις, ὃν πλεονεκτήσας ἀφήρπασας. Ἃ γὰρ τοῖς Ἰουδαίοις πάλαι διὰ Μιχαίου ἠπείλησεν ὁ Θεὸς, ταῦτα νῦν πεπλήρωκεν ἐν ἡμῖν· Σὺ σπείρεις, καὶ μὴ ἀμήσῃς· σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον· καὶ οἶνον οὐ μὴ πίῃς.

Τί οὖν, εἴποι τις ἴσως, καὶ μὴν οὐ πάντες πλεονέκται, οὐδὲ πάντες ἐπίορκοι· πῶς οὖν ὀλίγων ἁμαρτανόντων κοινῇ πᾶσι κεκέρασται τῆς ὀργῆς τοῦ Θεοῦ τὸ ἀψίνθιον; ἐχρῆν γὰρ μόνοις τοῖς κακοῖς ἐπενεχθῆναι τὴν κόλασιν. Ἀλλ' ὡς ἐφ' ἑνὸς σώματος, εἴπερ ἐν ἑνὶ μορίῳ ῥεύματος ἐπείσρυσις γίνεται, τὸ πᾶν σῶμα ἐδεῖτο καθάρσεως· οὕτω καὶ ἐφ' ἡμῖν, ἐπειδὴ ἓν σῶμά ἐσμεν, καὶ μέλη πάντες τοῦ Χριστοῦ, ἑνὸς μέρους νενοσηκότος, κοινωνοὶ τῆς ἀλγηδόνος πάντες γινόμεθα. Οὕτω ποτὲ τοῦ παιδὸς Σαοὺλ ἁμαρτήσαντος, ἅπαν τὸ στρατόπεδον ἐμαστίζετο, καὶ τοῦ Δαυῒδ παρὰ τὸ δοκοῦν τῷ Θεῷ τὸν λαὸν ἀριθμήσαντος, κοινῶς ὄλεθρος ἐπεισέφρησε. Τοῦτο δὲ καὶ ἡ ἔξωθεν παιδεία φησὶν, ὅτι πολλάκις καὶ σύμπασα πόλις ἑνὸς ἀνδρὸς κακίας ἀπέλαυσε. Διὰ τοῦτο τῆς ὀργῆς τοῦ Θεοῦ τὸ ποτήριον κεκέρασται ἡμῖν ἄκρατον. Ποτήριον γὰρ, φησὶν, ἐν χειρὶ Κυρίου πλῆρες κεράσματος οἴνου ἀκράτου. Ὁρᾷς πῶς ἡ τοῦ ποτηρίου τούτου φύσις παρήλλακται. Εἰ γὰρ ἄκρατόν ἐστι, πῶς πλῆρες κεράσματος; τὸ γὰρ κεκερασμένον οὐκ ἄκρατον. Ἐνταῦθα δὲ ἀμφότερα λέγεται· καὶ ἄκρατον μὲν, ὡς ἀμιγὲς θείων οἰκτιρμῶν τοῖς ἀδιόρθωτα πταίουσι, διὰ τὸ τῆς κρίσεως δίκαιον· κεκερασμένον δὲ, ὡς ἐκ διαφόρων μαστίγων καὶ τιμωριῶν, αἷς εἴωθε κολάζειν Θεὸς τοὺς μὴ ἐν ἀπεγνωσμένοις γενομένους κακοῖς. Ὅνπερ γὰρ τρόπον οἱ τὰς τῶν σωμάτων ἀνακόπτοντες νόσους, καὶ τοῦ δύνασθαι θεραπεύειν τὴν πεῖραν ἐξησκηκότες, τὰ τῶν τραυμάτων δυσαισθητότερα θερμοῖς ὕδασι καὶ δριμέσι φαρμάκοις ἀποκαθαίρουσι, καὶ τῆς ἐνούσης αὐτῆς ἀκαθαρσίας τὸ πάθος ἀπολεπτύνουσι τοῖς ἐκ τῆς τέχνης ἐπικουρήμασιν· οὕτω καὶ ὁ τὰ πάντα γινώσκων Θεὸς τοὺς ἀναλγήτως ἔχοντας πληγαῖς, ὧν βέλτιον ἂν εἴη παραιτεῖσθαι πρὸ τῆς πείρας τὴν ἔφοδον. Τί οὖν εἴποιμεν πρὸς τὰ ὑπαρχόμενα;

Δικαία ἡ κρίσις τοῦ Θεοῦ, μᾶλλον δὲ καταπολὺ τῆς δικαίας ὀργῆς ὁ φιλάνθρωπος Δεσπότης τὴν τιμωρίαν ἐκούφισεν, οὐχ ὅσον, ὧν ἐσμεν ἄξιοι, πεῖραν λαβεῖν, ἀλλ' ὅσον αἴσθησιν λαβεῖν, ὧν ἡμάρτομεν. Σκόπει γὰρ τοῦ Θεοῦ τὸ μακρόθυμον· ἡμάρτομεν ἡμεῖς, καὶ τὰ στοιχεῖα κολάζεται· πταίομεν, καὶ ἡ γῆ τιμωρεῖται· φαῦλον βίον ζῶμεν ἡμεῖς, καὶ μαστίζεται τὰ ἄψυχα· ὑβρίζομεν τὸν πλάστην διὰ τῶν αἰσχρῶν ἡμῶν πράξεων, καὶ δέχεται τὴν πληγὴν τὰ μηδὲν ἁμαρτήσαντα· ὥσπερ ἂν εἴ τις τοῦ παιδὸς σφαλέντος, κατὰ τοῦ δούλου ἐκφέρει τὴν βάσανον. Τοιοῦτον ἔχομεν ἀγαθὸν Δεσπότην, οὕτως ἡμᾶς νουθετεῖ, ἐπανάγων πρὸς τὴν διόρθωσιν· καὶ τείνει μὲν τὸ τόξον τῆς ἀπειλῆς, ἐπέχει δὲ τὸ βέλος τῆς ὀργῆς. Οὐ γὰρ βούλεται τὸν ψυχικὸν ἡμῶν θάνατον, ἀλλὰ τὴν ἐπιστροφὴν ἀναμένει καὶ τὴν μετάνοιαν. Γενώμεθα οὖν, ἀδελφοὶ, ἐν αἰσθήσει τοῦ πρέποντος, ἱλεωσώμεθα τὸν εὔσπλαγχνον Κύριον, μὴ χείρονες ὀφθῶμεν τῶν Νινευϊτῶν. Ἐκεῖνοι ἐθνικοὶ ὄντες καὶ ἄπιστοι, ἐπειδὴ παρὰ τοῦ προφήτου τὴν καταστροφὴν τῆς πόλεως ἔμαθον, τοσαύτην ἐπεδείξαντο μετάνοιαν, ὡς καὶ τὰ νήπια καὶ τὰ κτήνη νηστεύειν ἠνάγκασαν, καὶ σποδὸν καὶ σάκκον περιεβάλοντο, καὶ οὕτω τῆς δικαίας ὀργῆς τοῦ Θεοῦ ἀπηλλάγησαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Δακρύσωμεν οὖν καὶ ἡμεῖς, ἐξομολογησώμεθα ἕκαστος τὰ ἴδια πταίσματα,
προληψώμεθα πρὸς Θεὸν μεσίτας τοὺς ἁγίους, τούς τε ἄλλους καὶ κατ' ἐξαίρετον
τὴν ὑπέραγνον δέσποιναν, τὴν ταχεῖαν προστασίαν καὶ ἄμαχον· προσπέσωμεν αὐτῇ,
μετὰ δακρύων δεόμενοι· Κυρία δέσποινα, ἡ τὸν Θεὸν Λόγον ἐν γαστρί σου
χωρήσασα, ἡ τὴν φύσιν ἡμῶν τῷ σῷ τόκῳ θεώσασα, ἡ Θεῷ καὶ ἀνθρώποις τῷ τόκῳ
σου μεσιτεύσασα, ἐλέησον τὸν λαόν σου καὶ τὴν κληρονομίαν σου· σπλαγχνίσθητι
ἐπὶ ταύτῃ τῇ πόλει σου, τῇ ἐν τῷ σῷ καυχωμένῃ ὀνόματι· μεσίτευσον ὑπὲρ ἡμῶν
61.725 τῶν ἀναξίων δούλων σου· δυσώπησον τὸν μονογενῆ σου Υἱὸν ἐπὶ τοῖς
ἡμετέροις μακροθυμῆσαι πταίσμασι, καὶ λῦσαι τὴν καθ' ἡμῶν ταύτην δικαίαν ὀργὴν,
καὶ ταῖς νεφέλαις ἐπιτάξαι τὸν ὑετὸν ἐπομβρίσαι συνήθως, καὶ τὸν αὐχμὸν διαλῦσαι,
καὶ τῆς γῆς δροσίσαι τὸν καύσωνα.

Ναὶ, δέσποινα, δέσποινα, ἡ τοῦ κόσμου ἀντίληψις, ἐλέησον, θήλασσον τὰ
νήπια, γέροντας κεκμηκότας, πένητας πεφρυγμένους· μὴ ἐάσῃς ἡμᾶς ἀπολέσθαι
61.726 ταῖς ἁμαρτίαις ἡμῶν· ἡμάρτομεν, ἠνομήσαμεν, τὸν καθαρὸν τοῦ βαπτίσματος
χιτῶνα κατεῤῥυπώσαμεν, τὰς δεσποτικὰς ἐντολὰς ἠθετήσαμεν· ἀλλὰ κἂν
ὀλισθαίνωμεν, οὐκ ἐπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον, ἀλλ' εἰς τὸν
μονογενῆ σου Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν σὺν Πατρὶ καὶ ἁγίῳ
Πνεύματι προσκυνούμενον καὶ συνδοξαζόμενον, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.